TEZAUR LITURGIC

14 SEPTEMBRIE

ISIDORA AGHIROTITISSA

# TROPARELE ÎNĂLȚĂRII SFINTEI CRUCI

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# ΥΜΝΟΛΟΠΚΑ ΕΦΥΜΝΙΑ
# εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν

**Ποίημα Ισιδώρας Μοναχής Αγιεροθεϊτίσσης**

Ὧν ἡ ἀκροστιχίς: Κατ᾽ Ἀλφάβητον. *Ἰσιδώρας*. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἀπερινόητε, Σταυρὲ καὶ τίμιε, σὲ μετὰ πίστεως, κατασπαζόμενοι, ἐγκωμιάζομεν τὴν σήν, ἀνείκαστον δυναστείαν, χαίροις ἀνακράζοντες, Βασιλέων κραταίωμα· χαίροις τὸ διάσωσμα, οἰκουμένης καὶ στήριγμα, χαρᾶς ἀδιαψεύστου ταμεῖον, χαίροις ἡ δόξα τοῦ Κυρίου.

Βουλὴ πανάρχαια, Πατρὸς πεπλήρωται, ἐν σοι Πανάγιε, Σταυρὲ καὶ πάνσεπτε, ὅτι Ἀδὰμ ὁ τῆς τρυφῆς, ἐκπέσας τοῦ παραδείσου· πάλιν ἐπανεύρατο, εὐφροσύνης ἀπόλαυσιν. Δόξαν δὲ ἐκτήσατο, αἰωνίαν καὶ ἄφθαρτον, θανὼν καὶ γὰρ ἐν σοι ὁ Δεσπότης· πλοῦτος ζωῆς θνητοῖς ἐδόθη.

Γαλήνης ὅρμον σε, Σταυρὲ ἐπέγνωμεν, εἰρήνης πέλαγος, ῥεῖθρον ἰάσεων, καταλλαγῆς τε ἀληθοῦς, σημεῖον μὴ διαπῖπτον, πάντες οὖν οἱ πρότερον, ἐν κακοῖς θαλαττεύοντες· εὕρομέν σε ἄγκυραν, καὶ βεβαίαν ἀντίληψιν, διό σοι προσδραμόντες βοῶμεν· Χαίροις Σταυρὲ σημειοφόρε.

Δικαίων καύχημα, καὶ ἀγαλλίαμα, Μαρτύρων στήριγμα, καὶ ἐγκαλλώπισμα, δόξα σεπτῶν Πατριαρχῶν, λαμπρότης τῆς Ἐκκλησίας· σθένος Ἀποστόλων τε, Ἀσκητῶν τὸ ἐντρύφημα· σέβας ἱερέων τε, καὶ πιστῶν τὸ κραταίωμα.

Ἑλένη ἄνασσα, ἡ πολυσέβαστος, ἐκ γῆς ἀνήγαγε, Σταυρὸν τὸν τίμιον, καὶ ὑπερύψωσε τρανῶς, ὡς μέγα ζωῆς σημεῖον, ταύτῃ συνεπόμενοι, τὸν Σταυρὸν μεγαλύνωμεν, καὶ ὑπερυψώσωμεν, ἐγκωμίων τοῖς ῥήμασιν, βοῶντες πρὸς Αὐτὸν ἀκωλύτως· Χαίροις Σταυρὲ τοῦ κόσμου φύλαξ.

Ζωῆς ἡ τράπεζα, ἡ ἀδαπάνητος, τρυφῆς ἀπόλαυσις, ἡ ἀνεξάντλητος, καὶ Βασιλείας οὐρανῶν, ἡ εἴσοδος ἡ εὐθεία, πέλεις ἀληθέστατα, ὦ Σταυρὲ τρισμακάριστε· Πλοῦτός τε ἀτίμητος, καὶ εὐῶδες θησαύρισμα· πιστῶν Χριστιανῶν θυμηδία, πάσης τῆς γῆς δὲ εὐκοσμία.

Ἡλίου ἔλαμψας, πλέον τρανότερον, Σταυρὲ τρισόλβιε, ἐν στερεώματι, τοῦ Οὐρανοῦ ἀναφανείς, τῷ ἄνακτι Κωνσταντίνῳ· πτῶσιν δὲ ἐσήμανας, τῶν ἐχθρῶν πολυσήμαντον, νίκην ἀγλαόφωτον, χριστωνύμου πληρώματος· διό σοι ἐκτενῶς ἐκβοῶμεν· Χαίροις πιστῶν ἡ συμμαχία.

Θεὸς ἐν μέσῳ σου, Σταυρὲ ἀνήρτηται, καὶ καταπέπτωκε, φάλαγξ δαιμόνιος, ἡ δὲ πληθὺς τῶν

γηγενῶν, θανάτου ἠλευθερώθη· ὅθεν ἀγαλλόμενοι, προσκυνοῦμέν σε ἅπαντες· ἅμα συνδοξάζοντες, τὴν ἁγίαν Ἀνάστασιν, Χριστοῦ τοῦ Λυτρωτοῦ καὶ Δεσπότου· ἧσπερ μετόχους ἡμᾶς δεῖξον.

Ἰούδας πρότερον, ὁ μαθητεύσας σοι, λήθη νικώμενος, Σὲ τὸν διδάσκαλον, τὸν ἀναμάρτητον Σταυρῷ παρέδωκε καὶ θανάτῳ· αὖθις δὲ πλησίον σου, ὁ λῃστὴς συσταυρούμενος· δίκαιόν σε κέκληκε, καὶ φιλάνθρωπον Κύριον, κραυγὴν τὴν ἐπιγνώμονα, τούτου δίδου ἡμῖν Σωτὴρ τοῦ κόσμου.

Κέδρων ἀγάλλεται, ἡ φύσις ἅπασα, πεύκη δὲ τέρπεται, καὶ ἡ κυπάρισσος, ὅτι ἐν ξύλῳ τοῦ Σταυροῦ ὑψώθη Θεὸς τῶν ὅλων, τοῦτον προσκυνήσωμεν, οἱ πιστοὶ καὶ βοήσωμεν· χαίροις ἁγιόλεκτον, καὶ ἀσάλευτον στήριγμα, ταμεῖον δωρεῶν αἰωνίων, χαίροις ὁ πλοῦτος μυστηρίων.

Λαοὶ κροτήτωσαν, χεῖρας γηθόμενοι, καὶ εὐφημείτωσαν, Σταυρὸν τὸν ἅγιον, τοῦ Ζωοδότου καὶ Θεοῦ, ἀσύγκριτον τῇ ὁράσεῖ, ἅμα δὲ σκιρτάτωσαν, οἱ βουνοὶ ἀγαλλίασιν. Ὄρη εὐφραινέσθωσαν, καὶ ἑόρτιον αἴνεσιν, ᾀσάτω τῷ Θεῷ πᾶσα κτίσις· Ξύλον τὸ Ἅγιον τιμῶσα.

Μεῤῥᾶς ἐγλύκανας, Σταυρὲ τὰ ὕδατα, καὶ κατεξήρανας, βυθὸν θαλάσσιον, ἵνα περάσῃς σὸν

λαόν, εἰς χώραν ἐπαγγελίας. Ὅθεν οἱ περάσαντες, τῶν παθῶν τὴν ὑγρότητα· δίψαν τε πληρώσαντες, τῆς ψυχῆς τὴν ἀκόρεστον, χαρᾶς ἐμφορηθέντες βοῶμεν· χαίροις Σταυρὲ πηγὴ χαρίτων.

Νεκροὺς ἀνέστησας, τῇ ἐνεργείᾳ σου, τυφλῶν τὰ ὄμματα, πάλιν διήνοιξας, καὶ τοὺς νοσοῦντας ὑγιεῖς ἐτέλεσας σῇ δυνάμει. Ῥῶσιν οὖν λαμβάνοντες, τὴν κατ᾽ ἄμφω βοῶμέν σοι· χαίροις θεοπάροχον, καὶ τρισόλβιον δώρημα· Σταυρὲ τῆς οἰκουμένης ἡ δόξα, χαίροις ὁ ῥοῦς τῆς εὐλογίας.

Ξίφος ὀξύτατον, ῥιζόθεν ἄκανθαν, τέμνον τὴν ἄκαρπον, τῆς ἀθεότητος, καὶ τῶν ἐχθρῶν τῶν νοητῶν, συγκόπτον δεινὴν μανίαν. Σὺ εἶ ἀληθέστατα, ὦ Σταυρὲ τρισμακάριστε, σὲ οὖν μακαρίζοντες, εὐχαρίστως σοι ψάλλομεν· Θεοῦ τοῦ ἐπὶ Σοὶ ὑψωθέντος, χαίροις ἡ δόξα εἰς αἰῶνας.

Ὁδὸν τὴν ἄγουσαν, εἰς τὸν παράδεισον, Σταυρὲ διήνοιξας, τῇ σῇ χρηστότητι, καὶ ὁ ἐξόριστος Ἀδάμ, οἰκήτωρ τοῦ παραδείσου. Γέγονε τὴν πρότερον, ἥν ἀπώλεσεν εὔκλειαν πάλιν ἀνακτώμενος, καὶ εἰρήνης πληρούμενος· βοᾷ ἀγαλλομένῃ καρδίᾳ· χαίροις ὦ Ξύλον σωτηρίας.

Πύργος ἀκλόνητος, καὶ ὑψηλότατος, ἐχθροῦ τοξεύμασιν, μὴ σαλευόμενος, ἀλλὰ τὰς τούτου

μηχανάς, εἰς ἄβυσσον καταῤῥίπτων. Σὺ εἶ βεβαιότατα, ὦ Σταυρὲ κραταιότατε· σθένος καὶ ὀχύρωμα, τῶν καλῶς πεποιθότων σοι, ἰσχὺς δὲ τῶν ἐκ πόθου βοώντων· χαίροις τοῦ κόσμου προστασία.

Ῥάβδος εὐθύτητος, ἡμῶν στηρίζουσα, τὰ διαβήματα, καὶ εἰς Βασίλεια, τὰ νοητὰ πανευπρεπῶς, ἐν χάριτι ὁδηγοῦσα. Σὺ Σταυρὲ Θεόδεκτε, τοῖς λαοῖς πᾶσι γέγονας· ὅθεν σοι ἐπαίρομεν, τῆς καρδίας τὰ ὄμματα· καὶ σοὶ πανασφαλῶς στηριχθέντες· Δόξα Θεῷ ἀναβοῶμεν.

Σῶμα τὸ ἅγιον, Χριστοῦ ἐν μέσῳ σου, Σταυρὲ ἐβάστασας, πάθη δεξάμενον, καὶ ἑκουσίως νεκρωθέν, ἀρχαίᾳ Θεοῦ βουλήσει. Ὅθεν ἀρυόμενοι, τὰ νεκρέγερτα νάματα, πάντες μεγαλύνομεν, τὸ ἀνείκαστον ἔλεος· Θεοῦ τοῦ ἐπὶ σοὶ κενωθέντος· ὅπως ἡμᾶς καταπλουτήσῃ.

Τρόπαια ἔστησας, τῇ ἐξουσίᾳ σου, τείχη ἠδάφησας, ἐχθροῦ ἀνίδρυτα, καὶ ὑπερύψωσας Σταυρέ, τὸ κέρας τῶν Ὀρθοδόξων. Ὅθεν ἀνυψούμενοι, διὰ Σοῦ ἐν τοῖς ὄρεσιν, θείας ἀγαθότητος, μεγαλόφωνον αἴνεσιν, ἐν σάλπιγγι καρδίας εὐήχῳ, θείᾳ κροτοῦμεν ἀγαπήσει.

Ὕμνον ἐπάξιον, Σταυρὲ τίς εἴπει σοι; ᾠδὴν ἁρμόδιον, τίς προσφωνήσει σοι; καὶ ἐγκωμίων σοι πληθύν, τίς δύναται ἐξυφάναι; Σὺ γὰρ ὑπερβέβηκας,

οὐρανοῦ τὸ στερέωμα, γῆν τε καὶ τὴν θάλασσαν, κατεκόσμησας κάλλεσιν, καὶ βάθη ὑπέρηρας ἀβύσσου, κτίσιν ἐδόξασας δὲ πᾶσαν.

Φρίττουσι δαίμονες, Σταυρὲ τῇ θέᾳ σου, Ἄγγελοι χαίρουσι, βροτοὶ ἀγάλλονται, καὶ συνῳδὰ πᾶσα ἡ γῆ, εὐφραίνεται τῇ τιμῇ σου. Χείλη οὖν λαμπρύνωμεν, καὶ ἡμεῖς μεγαλύνοντες· σοῦ τὰ ἀδιήγητα, καὶ μεγάλα χαρίσματα· καὶ εἴπωμεν συμφώνως σοι αἶνον· χαίροις τὸ σκῆπτρον Βασιλέων.

Χεῖρας ἐξέτεινε, ἐν σοι θελήματι, ὁ παντοδύναμος, Θεὸς καὶ Κύριος, οὗ τῇ χειρὶ τῇ πανσθενεῖ, τὰ σύμπαντα συγκρατοῦνται. Ταύτης τῇ ἀνοίξει δέ, ἐν ἀφάτῳ χρηστότητι, πᾶσα γῆ πεπλήρωται, ἥν τῷ λόγῳ παρήγαγεν, Ἀδὰμ δὲ ὁ πλασθεὶς ἀπὸ ταύτης· Δόξα βοᾷ τῇ σῇ δυνάμει.

Ψάμμον θαλάσσιον, ὑπερβεβήκασι, τὰ κατορθώματα, Σταυρὲ σῆς χάριτος, καὶ ἀριθμῷ σοῦ τὰ φρικτά, θαυμάσια οὐ μετροῦνται. Νίκας ἐν πολέμοις γάρ, τοῖς πιστεύουσι δέδωκας· τρόπαια τοῖς ἄρχουσι, καὶ τὸ στέφος τὸ ἄφθαρτον, τοῖς σοῦ σημειουμένοις τὸν τύπον· Χαίροις Σταυρὲ δεδοξασμένε.

Ὢ τής ἀφάτου σου, στοργῆς Φιλάνθρωπε, ὢ ἀγαθότητος, τῆς ὑπὲρ ἔννοιαν, ὢ φιλανθρώπου σου βουλῆς, ὢ βάθους μακροθυμίας! Πάθη γὰρ

ὑπέμεινας, ἐν Σταυρῷ ἀναρτώμενος· στέφανον ἀκάνθινον, λόγχην σπόγγον καὶ κάλαμον, τὴν χλαίναν καὶ τὰ κάρφη σου ἄκρων, ὅπως ἡμᾶς ὑπερύψωσης.

Ἰδὼν ὁ εὔσπλαγχνος, Θεὸς τὸν ἄνθρωπον, ὅνπερ ἠγάπησε, μακρὰν γενόμενον, τοῦ παραδείσου τῆς τρυφῆς, ηὐδόκησε σαρκωθῆναι. Πάθη δὲ δεξάμενος, ἐν τῷ Ξύλῳ τὰ Ἄχραντα· τούτῳ ἐδωρήσατο, αἰωνίαν ἀπόλαυσιν, καὶ μέθεξιν φωτὸς ἀνεσπέρου· θέσει Θεὸν αὐτὸν ποιήσας.

Σταυρὲ θεόδεκτε, καὶ πανσεβάσμιε, γῆς τὸ θεμέλιον, τὸ ἀδιάσειστον, τοῦ Οὐρανοῦ περιωπή, Ἀγγέλων ἡ εὐκοσμία. Τρόπαιον τῆς πίστεως, τῶν ἀθλούντων κραταίωμα· κάλλος τὸ πολύευκτον, οἰκουμένης ἥν ἔκτισεν, τῷ λόγῳ ὁ τῷ κάλλει ὡραῖος· μόνος Θεὸς ὁ τοῦ ἐλέους.

Ἰδοῦ προκείμενον, ὁρᾶται σήμερον, Ξύλον τὸ ἅγιον, καὶ ζωοπάροχον, ὁ θεοπρόβλητος Σταυρός, τοῦ κόσμου ἡ εὐκληρία. Δεῦτε ἀγαλλόμενοι, πρὸς Αὐτὸν προσφθεγξώμεθα· χαίροις χαροπάροχε, τῆς εἰρήνης ἀσφάλεια· τῆς θείας Ὁμονοίας διόπτρα· λύτρον τῶν σὲ ἀσπαζομένων.

Διαβεβόητε, Σταυρὲ ἀήττητε, Θεοῦ τὴν δύναμιν, καὶ τὴν ἐνέργειαν, ἐν βεβαιώσει κραταιᾷ, προβάλλεις τοῖς

Σὲ κρατοῦσιν. Θραύεις γὰρ φρυάγματα, ἀοράτων δυνάμεων, παύεις ἀῤῥωστήματα, καὶ παρέχεις τὴν ἴασιν, κατ᾽ ἄμφω τοῖς πιστῶς μελωδοῦσιν· χαίροις πιστῶν τὸ μέγα σθένος.

Ὡς ὑποπόδιον, Θεὸς σὲ ἔθετο, Σταυρὲ ὑπέρλαμπρε, καὶ ὑψηλότατε, ἐν ᾧ εἰστήκεισαν Αὐτοῦ, οἱ πόδες προφητοφθέγκτως. Δεῦτε γόνυ κλίναντες, τῆς ψυχῆς καὶ τοῦ σώματος· πάντες προσκυνήσωμεν, τὸν Σταυρὸν τὸν τρισόλβιον, ἀρύασθαι ἀεὶ εὐφροσύνης· πλοῦτον Θεοῦ ἐκ τῶν ταμείων.

Ῥεῖθρον ἀειῤῥυτον, καὶ διαυγέστατον, πέλαγος ἅμα τε, τὸ ἀθεώρητον, εὐεργεσίας τοῦ Θεοῦ, Σταυρὲ σε κατανοοῦμεν. Ἔχθρας γὰρ τῆς πρότερον, τὰ δεσμὰ διαλέλυκας· χάριτος εἰσόδους τε, ἐλευθέρως διήνοιξας· ἑνώσας τὰ τὸ πρὶν διεστῶτα· σθένει Θεοῦ ἐν σοὶ ταθέντος.

ᾎσμα οὐράνιον, καὶ χαριτόπλοκον, ᾠδὴν ἱκέσιον, καὶ χαριστήριον, σοι ἀνατίθεμεν Σταυρέ, Πανύμνητε εὐχαρίστως. Χαίροις χαριέστατον, εὐλογίας κεφάλαιον, χαίροις τιμαλφέστατον, θείου πλούτου κειμήλιον, τὸ σκεῦος εὐωδίας ἀῤῥήτου· Ξύλον τὸ πάντας ἁγιάζον.

Σημεῖον μέγιστον, τῷ στερεώματι, πάλαι ἀνέβλεψεν, λαοῦ εἰς πίστωσιν, Βασιλευόντων ὁ

κλεινός, καὶ ἔνδοξος Κωνσταντῖνος. Ὅθεν ἐτροπώσατο, τῶν ἐχθρῶν τὰ στρατεύματα· νίκας δὲ ἀπέδωκε, τῷ Θεῷ τῶν δυνάμεων. Αὐτῷ μεγαλοφώνως βοῶμεν Δόξα τῇ σῇ οἰκονομίᾳ.

*Δίστιχα ἀκροτελεύτια.*

Στερέωσόν μὲ ἐν Θεῷ Σταυρὲ τροπαιοφόρε,
ἐν ἐφυμνίοις ταπεινοῖς βοᾷ σοι Ἰσιδώρα,
ἵνα νικῶσα τῶν παθῶν ὁρμὰς θανατηφόρους,
τῆς Ἀναστάσεως τὸ φῶς τὸ ζωηφόρον ἴδω.

